10 γῇ Αἰγύπτου. [10]καὶ ἔλαβεν τὴν αἰθάλην τῆς καμιναίας ἐναντίον
Φαραω καὶ ἔπασεν αὐτὴν Μωυσῆς εἰς τὸν οὐρανόν, καὶ ἐγένετο
ἕλκη, φλυκτίδες ἀναζέουσαι, ἐν τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετρά-
11 ποσιν. [11]καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆναι ἐναντίον Μωυσῆ
διὰ τὰ ἕλκη· ἐγένετο γὰρ τὰ ἕλκη ἐν τοῖς φαρμακοῖς καὶ ἐν πά-
12 σῃ γῇ Αἰγύπτου. [12]ἐσκλήρυνεν δὲ κύριος τὴν καρδίαν Φαραω,
καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθὰ συνέταξεν κύριος.
13 [13]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ὄρθρισον τὸ πρωὶ καὶ στῆθι
ἐναντίον Φαραω καὶ ἐρεῖς πρὸς αὐτόν Τάδε λέγει κύριος ὁ θεὸς
τῶν Εβραίων Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσίν μοι.
14 [14]ἐν τῷ γὰρ νῦν καιρῷ ἐγὼ ἐξαποστέλλω πάντα τὰ συναντήματά
μου εἰς τὴν καρδίαν σου καὶ τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ
15 σου, ἵν᾽ εἰδῇς ὅτι οὐκ ἔστιν ὡς ἐγὼ ἄλλος ἐν πάσῃ τῇ γῇ. [15]νῦν
γὰρ ἀποστείλας τὴν χεῖρα πατάξω σε καὶ τὸν λαόν σου θανάτῳ,
16 καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς· [16]καὶ ἕνεκεν τούτου διετηρήθης, ἵνα
ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά
17 μου ἐν πάσῃ τῇ γῇ. [17]ἔτι οὖν σὺ ἐμποιῇ τοῦ λαοῦ μου τοῦ μὴ
18 ἐξαποστεῖλαι αὐτούς. [18]ἰδοὺ ἐγὼ ὕω ταύτην τὴν ὥραν αὔριον
χάλαζαν πολλὴν σφόδρα, ἥτις τοιαύτη οὐ γέγονεν ἐν Αἰγύπτῳ
19 ἀφ᾽ ἧς ἡμέρας ἔκτισται ἕως τῆς ἡμέρας ταύτης. [19]νῦν οὖν κατά-
σπευσον συναγαγεῖν τὰ κτήνη σου καὶ ὅσα σοί ἐστιν ἐν τῷ πε-
δίῳ· πάντες γὰρ οἱ ἄνθρωποι καὶ τὰ κτήνη, ὅσα ἂν εὑρεθῇ ἐν τῷ
πεδίῳ καὶ μὴ εἰσέλθῃ εἰς οἰκίαν, πέσῃ δὲ ἐπ᾽ αὐτὰ ἡ χάλαζα, τε-
20 λευτήσει. [20]ὁ φοβούμενος τὸ ῥῆμα κυρίου τῶν θεραπόντων Φα-
21 ραω συνήγαγεν τὰ κτήνη αὐτοῦ εἰς τοὺς οἴκους· [21]ὃς δὲ μὴ προσ-
έσχεν τῇ διανοίᾳ εἰς τὸ ῥῆμα κυρίου, ἀφῆκεν τὰ κτήνη ἐν τοῖς
22 πεδίοις. — [22]εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ἔκτεινον τὴν χεῖρά
σου εἰς τὸν οὐρανόν, καὶ ἔσται χάλαζα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου,
ἐπί τε τοὺς ἀνθρώπους καὶ τὰ κτήνη καὶ ἐπὶ πᾶσαν βοτάνην τὴν
23 ἐπὶ τῆς γῆς. [23]ἐξέτεινεν δὲ Μωυσῆς τὴν χεῖρα εἰς τὸν οὐρανόν,
καὶ κύριος ἔδωκεν φωνὰς καὶ χάλαζαν, καὶ διέτρεχεν τὸ πῦρ ἐπὶ
τῆς γῆς, καὶ ἔβρεξεν κύριος χάλαζαν ἐπὶ πᾶσαν γῆν Αἰγύπτου.
24 [24]ἦν δὲ ἡ χάλαζα καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ· ἡ δὲ χάλαζα
πολλὴ σφόδρα σφόδρα, ἥτις τοιαύτη οὐ γέγονεν ἐν Αἰγύπτῳ ἀφ᾽
25 οὗ γεγένηται ἐπ᾽ αὐτῆς ἔθνος. [25]ἐπάταξεν δὲ ἡ χάλαζα ἐν πάσῃ
γῇ Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ πᾶσαν βοτάνην τὴν

10 ελαβον A || 12 fin.] + τω μωυση Ar || 14 αλλος > A || 15 χειρα] + μου A | θανατω M] -τωσω BAr || 16 ισχυν] δυναμιν A: cf. Rom. 9 17 || 17 συ εμποιη] tr. A† || 19 και $1^{0}$ > A† | εστιν] εισιν A† | αν ευρεθη] σοι εστιν B† | επ αυτα / η χαλ.] tr. A || 21 τω πεδιω A || 24 σφοδρα $2^{0}$] > B, in *O* sub ÷ | τοιαυτη / ου γεγονεν] tr. A | αφ ου] αφ ης ημερας B† || 25 αιγυπτω A | απο] pr. παντα οσα ην εν τω πεδιω Bc (in *O* sub ※)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/152 UNIVERSITÄT LEIPZIG